Βιθυνοὶ Θρᾷκες.

« αὐτοὶ δὲ (ο Λάμαχος στρατηγὸς ἀργυρολόγων τῶν Ἀθηναίων) ἡ στρατιὰ πεζῇ διὰ Βιθυνῶν Θρᾳκῶν, οἵ εἰσι πέραν ἐν τῇ Ἀσίᾳ, ἀφικνεῖται ἐς Καλχηδόνα τὴν ἐπὶ τῷ στόματι τοῦ Πόντου Μεγαρέων ἀποικίαν.» Θουκ. IV. 75. §2.

ἔαρος ἀρχομένου δυοῖν καὶ εἴκοσιν ἐτῶν τῷ πολέμῳ παρεληλυθότων, οἱ Ἀθηναῖοι ἔπλευσαν εἰς Προκόννησον παντὶ τῷ στρατοπέδῳ, ἐκεῖθεν δ' ἐπὶ Καλχηδόνα καὶ Βυζάντιον ὁρμήσαντες ἐστρατοπεδεύσαντο πρὸς Καλχηδόνι. οἱ δὲ Καλχηδόνιοι προσιόντας αἰσθόμενοι τοὺς Ἀθηναίους τὴν λείαν(;) ἅπασαν κατέθεντο εἰς τοὺς Βιθυνοὺς Θρᾷκας ἀστυγείτονας ὄντας. Ἀλκιβιάδης δὲ λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους καὶ τοὺς ἱππέας, καὶ τὰς ναῦς παραπλεῖν κελεύσας, ἐλθὼν εἰς τοὺς Βιθυνοὺς ἀπῄτει τὰ τῶν Καλχηδονίων χρήματα· εἰ δὲ μή, πολεμήσειν ἔφη αὐτοῖς. οἱ δὲ ἀπέδοσαν. Ξεν. Ἑλλ. Α. 3. 2 §§ 10.

166

Ξεν. Ἑλ. Γ. Β.
2 σελ. 73

Βιθυνοί Θρᾷκες. Βιθυνὶς Θρᾴκη

ὡς δὲ ταῦτα ἐγένετο, ἐκ τούτου ὁ Δερκυλίδας εἰς τὴν Βιθυνίδα Θρᾴκην ᾤχετο χειμάσων, ὅπου οὐδὲ Φαρνάβαζος πάνυ τι ἤχθετο· πολλάκις γὰρ οἱ Βιθυνοὶ αὐτῷ ἐπολέμουν. (πολλάκις γὰρ οἱ Βιθυνοί) καὶ τὰ μὲν ἄλλα ὁ Δερκυλίδας ἀσφαλῶς φέρων καὶ ἄγων τὴν Βιθυνίδα καὶ ἄφθονα ἔχων τὰ ἐπιτήδεια διετέλει· ἐπεὶ δὲ ἦλθον αὐτῷ παρὰ τοῦ Σεύθου πέραθεν σύμμαχοι τῶν Ὀδρυσῶν ἱππεῖς ὡς διακόσιοι καὶ πελτασταὶ ὡς τριακόσιοι, οὗτοι στρατοπεδευσάμενοι καὶ περισταυρωσάμενοι ἀπὸ τοῦ Ἑλληνικοῦ ὡς εἴκοσι στάδια, αἰτοῦντες φύλακας τοῦ στρατοπέδου τὸν Δερκυλίδαν τῶν ὁπλιτῶν, ἐξῇσαν ἐπὶ λείαν, καὶ πολλὰ ἐλάμβανον ἀνδράποδά τε καὶ χρήματα. ἤδη δ' ὄντος μεστοῦ τοῦ στρατοπέδου αὐτοῖς πολλῶν αἰχμαλώτων, καταμαθόντες οἱ Βιθυνοὶ ὅσοι τ' ἐξῇσαν καὶ ὅσους κατέλιπον Ἕλληνας φύλακας, συλλεγέντες παμπληθεῖς πελτασταὶ καὶ ἱππεῖς ἅμα ἡμέρᾳ προσπίπτουσι τοῖς ὁπλίταις ὡς διακοσίοις οὖσιν. ἐπεὶ δ' ἐγγὺς ἐγένοντο, οἱ μὲν ἔβαλλον, οἱ δ' ἠκόντιζον εἰς αὐτούς. οἱ δ' ἐπεὶ ἐτιτρώσκοντο μὲν καὶ ἀπέθνῃσκον, ἐποίουν δ' οὐδὲν καθειργμένοι ἐν τῷ σταυρώματι ὡς ἀνδρομήκει ὄντι, δια-

Βιθυνοὶ Θρᾷκες. Βιθυνὶς Θρᾴκη

σπάσαντες τὸ αὐτῶν σχῆμα ἐφέροντο ἐπ' αὐτούς. οἱ δὲ ᾗ μὲν ἐκθέοιεν ὑπεχώρουν, καὶ ῥᾳδίως ἀπέφευγον πελτασταὶ ὁπλίτας, ἔνθεν δὲ καὶ ἔνθεν ἠκόντιζον, καὶ πολλοὺς αὐτῶν ἐφ' ἑκάστῃ ἐκδρομῇ κατέβαλλον· τέλος δὲ ὥσπερ ἐν αὐλίῳ σηκασθέντες κατηκοντίσθησαν. ἐσώθησαν μέντοι αὐτῶν ἀμφὶ τοὺς πεντεκαίδεκα εἰς τὸ Ἑλληνικόν, καὶ οὗτοι, ἐπεὶ εὐθὺς ᾔσθοντο τὸ πρᾶγμα, ὑπεχώρησαν ἐν τῇ μάχῃ διαπεσόντες ἀμελησάντων τῶν Βιθυνῶν. ταχὺ δὲ ταῦτα διαπραξάμενοι οἱ Βιθυνοὶ καὶ τοὺς σκηνοφύλακας τῶν Ὀδρυσῶν Θρᾳκῶν ἀποκτείναντες, ἀπολαβόντες πάντα τὰ αἰχμάλωτα ἀπῆλθον, ὥστε οἱ Ἕλληνες ἐπεὶ ᾔσθοντο, βοηθήσαντες οὐδὲν ἄλλο εὗρον ἢ νεκροὺς γυμνοὺς ἐν τῷ στρατοπέδῳ. ἐπεὶ μέντοι ἐπανῆλθον οἱ Ὀδρύσαι, θάψαντες τοὺς ἑαυτῶν καὶ πολὺν οἶνον ἐκπιόντες ἐπ' αὐτοῖς καὶ ἱπποδρομίαν ποιήσαντες, ὁμοῦ δὴ τὸ λοιπὸν τοῖς Ἕλλησι στρατοπεδευσάμενοι ἦγον καὶ ἔκαιον τὴν Βιθυνίδα. Ξεν. Ἑ. 3. 2 §§ 7.

6 Ἅμα δὲ τῷ ἦρι ἀρχομένῳ ὁ Δερκυλίδας ἐκ τῶν Βιθυνῶν ἀφικνεῖται εἰς Λάμψακον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

188

# Βιθυνοὶ Θρᾷκες.

Ξεν. Αν. ς. Β. 17. Καὶ οἱ μὲν Ἀρκάδες διαπραξάμενοι πλοῖα παρὰ τῶν Ἡρακλεωτῶν (τοῦ Πόντου), πρῶτοι πλέουσιν, ὅπως ἐξαίφνης ἐπιπεσόντες τοῖς Βιθυνοῖς λάβοιεν ὅτι πλεῖστα· καὶ ἀποβαίνουσιν εἰς Κάλπης λιμένα κατὰ μέσον πως τῆς Θρᾴκης. Χειρίσοφος δ' εὐθὺς ἀπὸ τῆς πόλεως τῶν Ἡρακλεωτῶν ἀρξάμενος πεζῇ ἐπορεύετο διὰ τῆς χώρας· ἐπεὶ δὲ εἰς τὴν Θρᾴκην ἐνέβαλε, παρὰ τὴν θάλατταν ᾔει· καὶ γὰρ ἠσθένει. Ξενοφῶν δὲ πλοῖα λαβών, ἀποβαίνει ἐπὶ τὰ ὅρια τῆς Θρᾴκης καὶ τῆς Ἡρακλεώτιδος καὶ διὰ μεσογείας ἐπορεύετο.

„ Γ. Ὃν μὲν οὖν τρόπον ἥ τε Χειρισόφου ἀρχὴ τοῦ παντὸς κατελύθη καὶ τῶν Ἑλλήνων τὸ στράτευμα ἐσχίσθη ἐν τοῖς ἐπάνω εἴρηται. Ἔπραξαν δ' αὐτῶν ἕκαστοι τάδε· οἱ μὲν Ἀρκάδες, ὡς ἀπέβησαν νυκτὸς εἰς Κάλπης λιμένα, πορεύονται εἰς τὰς πρώτας κώμας, στάδια ἀπὸ θαλάττης ὡς τριάκοντα. ἐπεὶ δὲ φῶς ἐγένετο, ἦγεν ἕκαστος ὁ στρατηγὸς τὸν αὑτοῦ λόχον ἐπὶ κώμην· ὁποία δὲ μείζων ἐδόκει εἶναι, σύνδυο λόχους ἦγον οἱ στρατηγοί. συνεβάλλοντο δὲ καὶ λόφον, εἰς ὃν δέοι πάντας ἀθροίζεσθαι· καὶ ἅτε ἐξαίφνης ἐπιπεσόντες, ἀνδράποδά τε πολλὰ ἔλαβον καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βιθυνοὶ Θρᾷκες

Ξεν. Αν. ς΄ γ.

πρόβατα πολλὰ περιεβάλλοντο. οἱ δὲ Θρᾷκες ἠθροίζοντο οἱ διαπεφευγότες· πολλοὶ δὲ διέφυγον, πελτασταὶ ὄντες, ὁπλίτας ἐξ αὐτῶν τῶν χειρῶν. ἐπεὶ δὲ συνελέγησαν, πρῶτον μὲν τῷ Σμικρήτου λόχῳ ἑνὸς τῶν Ἀρκάδων στρατηγῶν ἀπιόντι ἤδη εἰς τὸ συγκείμενον καὶ πολλὰ χρήματα ἄγοντι ἐπιτίθενται. καὶ τέως μὲν ἐμάχοντο ἅμα πορευόμενοι οἱ Ἕλληνες, ἐπὶ δὲ διαβάσει χαράδρας τρέπονται αὐτούς, καὶ αὐτόν τε τὸν Σμικρήτην ἀποκτιννύασι καὶ τοὺς ἄλλους πάντας· ἄλλου δὲ λόχου τῶν δέκα στρατηγῶν τοῦ Ἡγησάνδρου ὀκτὼ μόνους ἔλιπον· καὶ αὐτὸς Ἡγήσανδρος ἐσώθη. καὶ οἱ ἄλλοι δὲ λόχοι συνῆλθον, οἱ μὲν σὺν πράγμασιν, οἱ δὲ ἄνευ πραγμάτων. οἱ δὲ Θρᾷκες ἐπεὶ ηὐτύχησαν τοῦτο τὸ εὐτύχημα, συνεβόων τε ἀλλήλους καὶ συνελέγοντο ἐρρωμένως τῆς νυκτός. καὶ ἅμα ἡμέρᾳ κύκλῳ περὶ τὸν λόφον, ἔνθα οἱ Ἕλληνες ἐστρατοπεδεύοντο, ἐτάττοντο καὶ ἱππεῖς πολλοὶ καὶ πελτασταί, καὶ ἀεὶ πλέονες συνέρρεον· καὶ προσέβαλλον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς· οἱ μὲν γὰρ Ἕλληνες οὔτε τοξότην εἶχον οὔτε ἀκοντιστὴν οὔτε ἱππέα· οἱ δὲ προσθέοντες καὶ προσελαύνοντες ἠκόντιζον· ὁπότε δὲ αὐτοῖς ἐπίοιεν, ῥᾳδίως ἀπέφευγον· ἄλ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

170

# Βιθυνοί Θράκες.

Ξεν. Αν. ς΄. 5. 7

και δε άλλη επεβοήθει. και των μεν πολλοί ετιτρώσκοντο, των δε ουδείς· ώστε κινηθήναι ουκ εδύναντο εκ του χωρίου, αλλά τελευτώντες και από του ύδατος είργον αυτούς οι Θράκες. επεί δε απορία πολλή ήν, διελέγοντο περί σπονδών· και τα μεν άλλα ωμολόγητο αυτοίς, ομήρους δε ουκ εδίδοσαν οι Θράκες αιτούντων των Ελλήνων, αλλ' εν τούτω ίσχετο. τα μεν δη των Αρκάδων ούτως είχε.

Χειρίσοφος δε ασφαλώς πορευόμενος παρά θάλατταν αφικνείται εις Κάλπης λιμένα. Ξενοφώντι δε διά της μεσογείας πορευομένω, οι ιππείς καταθέοντες εντυγχάνουσι πρεσβύταις πορευομένοις ποι. και επεί ήχθησαν παρά Ξενοφώντα, ερωτά αυτούς, εί που ήσθηνται άλλου στρατεύματος όντος Ελληνικού. οι δε έλεγον πάντα τα γεγενημένα, και νυν ότι πολιορκούνται επί λόφου, οι δε Θράκες πάντες περικεκυκλωμένοι είεν αυτούς. ενταύθα τους μεν ανθρώπους τούτους εφύλαττεν ισχυρώς, όπως ηγεμόνες είεν όποι δέοι· σκοπούς δε καταστήσας, συνέλεξε τους στρατιώτας και έλεξεν, Άνδρες στρατιώται, των Αρκάδων οι μεν τεθνάσιν, οι δε λοιποί επί λόφου τινός πολιορκούνται. νομίζω δ' έγωγε, ει εκείνοι απολούνται, ουδ' ημίν είναι ουδεμίαν σωτηρίαν, έ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βιθυνοὶ Θρᾷκες

Τῶν μὲν πολλῶν ὄντων τῶν πολεμίων, ἄλλων δὲ τεθαρ- Ξεν. Ἀναβ. ς
ρηκότων. κράτιστον ἂν ἡμῖν ὡς τάχιστα βοηθεῖν ς. 12.
τοῖς ἀνδράσιν, ὅπως, εἰ ἔτι σῷοί εἰσι, σὺν ἐκείνοις μα-
χώμεθα, καὶ μή, μόνοι λειφθέντες, μόνοι καὶ κιν-
δυνεύωμεν. ἡμῖν γὰρ ἀποδρᾶναι μὲν οὐδαμοῖ
ἐνθένδε· πολλὴ μὲν γάρ, ἔφη, ἡ εἰς Ἡράκλειαν πά-
λιν ἰέναι, πολλὴ δὲ ἡ εἰς Χρυσόπολιν διελθεῖν· οἱ δὲ
πολέμιοι πλησίον· ἡ δὲ εἰς Κάλπης λιμένα, ἔνθα Χει-
ρίσοφον εἰκάζομεν εἶναι, εἰ σέσωσται, ἐλαχίστη ὁ-
δός. ἀλλὰ δὴ ἐκεῖ μὲν οὔτε πλοῖά ἐστιν, οἷς ἀ-
ποπλευσούμεθα, μένουσι δὲ αὐτοῦ οὐδὲ μιᾶς ἡμέ-
ρας ἔστι τὰ ἐπιτήδεια. τῶν δὲ πολιορκουμένων
ἀπολομένων, σὺν τοῖς Χειρισόφου μόνοις κάκι-
όν ἐστι διακινδυνεύειν ἤ, τῶνδε σωθέντων,
πάντας εἰς ταὐτὸν ἐλθόντας κοινῇ τῆς σωτηρίας
ἔχεσθαι. ἀλλὰ χρὴ παρασκευασαμένους τὴν
γνώμην πορεύεσθαι, ὡς νῦν ἢ εὐκλεῶς τελευ-
τῆσαι ἔστιν ἢ κάλλιστον ἔργον ἐργάσασθαι, Ἕλ-
ληνας τοσούτους σώσαντας. καὶ ὁ θεὸς ἴσως ἄγει οὕτως,
ὃς τοὺς μεγαληγορήσαντας, ὡς πλέον φρονοῦντας,
ταπεινῶσαι βούλεται, ἡμᾶς δὲ τοὺς ἀπὸ θεῶν ἀρ-
χομένους ἐντιμοτέρους ἐκείνων καταστῆσαι. ἀλλ'
ἕπεσθαι χρὴ καὶ προσέχειν τὸν νοῦν, ὡς ἂν τὸ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βιθυνοὶ Θρᾷκες

παραγγελλόμενον δύνησθε ποιεῖν. νῦν μὲν γὰρ στρατοπεδευσώμεθα προελθόντες, ὅσον ἂν δοκῇ καιρὸς εἶναι πρὸς τὸ ἀριστοποιήσασθαι· ἕως δ' ἂν πορευώμεθα, Τιμασίων ἔχων τοὺς ἱππέας προηγείσθω, ἐφορῶν ἡμᾶς, καὶ σκοπείτω τὰ ἔμπροσθεν, ὡς μηδὲν ἡμᾶς λάθῃ.

15 Ταῦτ' εἰπὼν ἡγεῖτο. παρέτεινε δὲ καὶ τῶν γυμνήτων ἀνθρώπους εὐζώνους εἰς τὰ πλάγια καὶ εἰς τὰ ἄκρα, ὅπως εἴ πού τι καθορῷεν, σημαίνοιεν· ἐκέλευε δὲ κάειν ἅπαντα, ὅτῳ ἐντυγχάνοιεν καυσίμῳ. οἱ δὲ ἱππεῖς διασπειρόμενοι ἐφ' ὅσον καλῶς εἶχεν ἔκαον, καὶ οἱ πελτασταὶ παραπορευόμενοι κατὰ τὰ ἄκρα ἔκαον πάντα, ὅσα καύσιμα ἑώρων, καὶ ἡ στρατιὰ δέ, εἴ τινι παραλειπομένῳ ἐντυγχάνοιεν. ὥστε πᾶσα ἡ χώρα αἴθεσθαι ἐδόκει καὶ τὸ στράτευμα πολὺ εἶναι. ἐπεὶ δὲ ὥρα ἦν, κατεστρατοπεδεύσαντο ἐπὶ λόφον ἐκβάντες, καὶ τά τε τῶν πολεμίων πυρὰ ἑώρων, ἀπεῖχον δὲ ὡς τετταράκοντα σταδίους, καὶ αὐτοὶ ὡς ἐδύναντο πλεῖστα πυρὰ ἔκαον. ἐπεὶ δὲ ἐδείπνησαν τάχιστα, παρηγγέλθη τὰ πυρὰ κατασβεννύναι πάντα. καὶ τὴν μὲν νύκτα φυλακὰς ποιησάμενοι ἐκάθευδον· ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι τοῖς θεοῖς, συντα-

# Βιθυνοὶ Θρᾷκες

γενόμενοι ὡς ἐν μάχῃ ἐπορεύοντο, ᾗ ἐδύναντο Ξεν. Αν. ς.
τάχιστα. Πιεσθέντων δὲ καὶ οἱ πεζοί, ἔχοντες τοὺς ς. 21
ἡγεμόνας καὶ προσβαίνοντες, ἔλαθον αὐτοὺς ἐπὶ
τῷ λόφῳ γενόμενοι, ἔνθα ἐπολιορκοῦντο οἱ Ἕλλη-
νες. καὶ οὐχ ὁρῶσι τὸ μὲν στράτευμα τὸ Ἑλλη-
νικόν, — καὶ ταῦτα ἀπαγγέλλουσι πρὸς τὸν Ξενο-
φῶντα καὶ τὸ στράτευμα — γράδια δὲ καὶ γερόντια
καὶ πρόβατα ὀλίγα καὶ βοῦς καταλελειμμένους. καὶ τὸ μὲν
πρῶτον θαῦμα ἦν, τί εἴη τὸ γεγενημένον, ἔ-
πειτα δὲ καὶ τῶν καταλελειμμένων ἐπυνθάνοντο, ὅ-
τι οἱ μὲν Θρᾷκες εὐθὺς ἀφ' ἑσπέρας ᾤχοντο ἀπι-
όντες, ἕωθεν δὲ καὶ τοὺς Ἕλληνας ἔφασαν οἴχε-
σθαι· ὅποι δέ, οὐκ εἰδέναι.

24. Ταῦτα ἀκούσαντες οἱ ἀμφὶ Ξενοφῶντα, ἐπεὶ
ἠρίστησαν, συσκευασάμενοι ἐπορεύοντο, βουλόμενοι
ὡς τάχιστα συμμῖξαι τοῖς ἄλλοις, εἰς Κάλπης λι-
μένα. καὶ πορευόμενοι εὗρον τὸν στίβον τῶν
Ἀρκάδων καὶ Ἀχαιῶν κατὰ τὴν ἐπὶ Κάλπης ὁ-
δόν. ἐπεὶ δὲ ἀφίκοντο εἰς ταὐτό, ἄσμενοί τε εἶ-
δον ἀλλήλους καὶ ἠσπάζοντο ὥσπερ ἀδελφοί. καὶ ἐ-
πυνθάνοντο οἱ Ἀρκάδες τῶν περὶ Ξενοφῶντα
τί τὰ πυρὰ κατασβέσειαν· ἡμεῖς μὲν γάρ, ἔ-
φασαν, ᾤμεθα ὑμᾶς τὸ μὲν πρῶτον, ἐπειδὴ τὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Βιθυνοὶ Θρᾷκες.

Ξεν. Αν. ς΄. Γ΄. 25 ὥρα γνῶθ' ἑωρῶμεν, τῆς νυκτὸς ἤλθομεν ἐπὶ τοῖς
πολεμίοις· καὶ οἱ πολέμιοι δέ, ὡς γε ἡμῖν ἐδόκουν, τό-
τε ὅσπερ ἀπῆλθον· σχεδὸν γὰρ ἀμφὶ τὸν αὐτὸν
χρόνον ἀπῆσαν. ἐπεὶ δὲ νῦν ἀφίκεσθε, ὁ δὲ χρό-
νος ἐξήκει, ᾠόμεθα ὑμᾶς, συνδραμεῖν τὰ παρ' ἡ-
μῶν, βοηθοῦντας, οἴχεσθαι ἀποδράντας ἐπὶ θά-
λατταν· καὶ ἐδόκει ἡμῖν μὴ ἀπολείπεσθαι ὑ-
μῶν. ἤλθομεν οὖν καὶ ἡμεῖς δεῦρο ἀφικόμεθα.

### Κεφαλ. Δ.

Περίληψις — Συνενωθέντες πάλιν εἰς τὸ αὐτὸ οἱ
Ἕλληνες ἐστρατοπέδευσαν παρὰ τὸν Κάλπης
λιμένα ἐν τῇ Ἀσιατικῇ Θρᾴκῃ, ἧς οἱ κάτοικοι
Βιθυνοὶ διέκειντο ἐχθρικῶς πρὸς τοὺς Ἕλληνας,
καὶ τὴν ἐπαύριον ἐξῆλθον εἰς τὰ ἐνδότερα τῆς
χώρας τὸ μὲν χάριν τῶν ἐπιτηδείων, τὸ δὲ ἵνα
θάψωσι τοὺς νεκρούς των. Ἀφοῦ δὲ ἔθαψαν αὐτοὺς
ἐκ τῶν ἐνόντων, τὴν ἀκόλουθον ἡμέραν συνα-
χθέντες οἱ στρατιῶται ἀπεφάσισαν θάνατον κατὰ
παντός, ὅστις ἤθελε κάμῃ λόγον περὶ διαιρέσε-
ως τοῦ στρατοῦ, ἔπειτα δὲ νὰ ταχθῶσιν ὑπὸ τοὺς αὐτοὺς
στρατηγοὺς ὡς καὶ πρὸ τοῦ διχασμοῦ, ἐπειδὴ καὶ ὁ Χειρί-
σοφος εἶχεν ἤδη ἀποθάνει. Μέλλοντες δ' ἐξ ἀνάγ-
κης νὰ ἐξοικονομήσωσι τὴν πορείαν διὰ ξηρᾶς,

# Βιθυνοὶ Θρᾷκες.

Βιβλ. ς' Κεφαλ. Δ. Ξεν. Ἀν. ς' Δ'

Συνέχεια περιλήψεως.

κηρύσσεσθαι ἐπαγγελλομένων ὑπὸ τῶν ἱερῶν, τὰ ἅπαντα δὲν ἦσαν καλά. Ἀλλ' ὁ διάδοχος τοῦ Χειρισόφου Νέων ἐξῆλθε τῇ βοηθείᾳ ἐπὶ τὰ ἐπιτήδεια, ὁδηγηθεὶς ὑπό τινος Ἡρακλεώτου· ἀλλ' ἐπιπεσόντες κατ' αὐτῶν ἱππεῖς τοῦ Φαρναβάζου, ἐλθόντες εἰς βοήθειαν τῶν Βιθυνῶν, ἔτρεψαν αὐτοὺς εἰς φυγήν, φονεύσαντες περὶ τοὺς 500. Καὶ οἱ μὲν ἄλλοι ἐσώθησαν εἰς τὸ στρατόπεδον ὑπὸ τοῦ Ξενοφῶντος· οἱ δὲ Βιθυνοὶ κατεδίωξαν αὐτοὺς μέχρι τοῦ στρατοπέδου, ὅπου διενυκτέρευσαν ἐν τοῖς ὅπλοις φυλαττόμενοι.

Εἰς ταύτην μὲν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο ἐπὶ τῆς ἀγορᾶς πρὸ τῆς πόλεως. Τὸ δὲ χωρίον τοῦτο ὀνομάζεται Κάλπης λιμήν, ἐστὶ μὲν ἐν τῇ Θρᾴκῃ τῇ ἐν τῇ Ἀσίᾳ· ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρι Ἡρακλείας ἐπὶ δεξιὰ εἰς τὸν Πόντον εἰσπλέοντι· ἡ τριήρης μὲν ἐστὶν εἰς Ἡράκλειαν ἐκ Βυζαντίου κώπαις ἡμέρας μακρᾶς πλοῦς. ἐν δὲ τῷ μέσῳ ἄλλη μὲν πόλις οὐδεμία οὔτε φιλία οὔτε Ἑλληνίς, ἀλλὰ Θρᾷκες Βιθυνοί.

# Βιθυνοί Θράκες

Ξεν. Αν. ς. Δ. ους αν λάβωσι των Ελλήνων εκπίπτοντας η άλ-
λως πως, δεινά υβρίζειν λέγονται τους Έλληνας. ο δε
Κάλπης λιμήν εν μέσω μεν κείται εκατέρωθεν
πλεόντων, εξ Ηρακλείας και Βυζαντίου, έστι δ' εν
τη θαλάττη προκείμενον χωρίον, το μεν εις
την θάλατταν καθήκον αυτού πέτρα απορ-
ρώξ, ύψος, όπη ελάχιστον, ου μείον είκοσιν
οργυιών. ο δ' αυχήν ο εις την γην ανήκων
του χωρίου μάλιστα τεττάρων πλέθρων το εύρος.
το δ' εντός του αυχένος χωρίον ικανόν μυρίοις
ανθρώποις οικήσαι. λιμήν δ' υπ' αυτή τη πέτρα
το προς εσπέραν αιγιαλόν έχων. κρήνη δε
ηδέος ύδατος και άφθονος ρέουσα επ' αυτή τη
θαλάττη. το δε όρος εις μεσόγειαν μεν ανήκει ό-
σον επί είκοσι σταδίους, και τούτο γεώδες και άλιθον.
το δε παρά θάλατταν πλέον η επί είκοσι σταδίους
δασύ πολλοίς και παντοδαποίς και μεγάλοις ξύλοις,
η δε άλλη χώρα πολλή και καλή, και κώμαι εν αυ-
τή εισι πολλαί και ευ οικούμεναι. φέρει γαρ η γη
και κριθάς και πυρούς και όσπρια πάντα και μελίνας
και σήσαμα και σύκα αρκούντα και αμπέλους πολ-
λάς και ηδυοίνους και τάλλα πάντα πλην ελαιών.
η μεν χώρα ην τοιαύτη, εσκήνουν δ' εν τω αιγι-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βιθυνοι θρᾶκες

αλλ' ιερα τη θαλάττη . . . . . . . . . . . Ξεν. Αν. ς. Δ.

. . . . . . . . . . Νέων δε ην μεν 23.

στρατηγος κατα το Χειρισόφου μέρος, επει δε ε-
ώρα τους ανθρώπους, ως είχον δεινως τη ενδεία, βου-
λόμενος αυτοις χαρίζεσθαι, ευρών τινα άνθρω-
πον Ηρακλεώτην, ος έφη κώμας εγγυς ειδέ-
ναι, όθεν είη λαβειν τα επιτήδεια, εκήρυξε τον
βουλόμενον ιέναι επι τα επιτήδεια, ως ηγεμόνος
εσομένου. εξέρχονται δη συν δορατίοις και ασκοις.
και θυλάκοις και άλλοις αγγείοις εις δισχιλίους ανθρώ-
πους. επειδη δε ησαν εν ταις κώμαις και διε-
σπείροντο ως επι το λαμβάνειν, επιπίπτουσιν αυτοις οι
Φαρναβάζου ιππεις πρωτοι· βεβοηθηκότες γαρ
ησαν τοις <u>Βιθυνοις</u>, ει δύναιντο, αποκωλυσαι τους
Έλληνας μη ελθειν εις την Φρυγίαν· ούτοι οι ιπ-
πεις αποκτείνουσι των ανδρων ου μειον πεντακοσίους·
οι δε λοιποι επι το όρος ανέφυγον. εκ τούτου α-
παγγέλλει τις ταυτα των αποφυγόντων εις το στρα-
τόπεδον, και ο Ξενοφων, επει ου εγεγένετο τα ιερα
ταύτη τη ημέρα, λαβων βουν υφ' αμάξης, ου γαρ ην
άλλα ιερεια, σφαγιασάμενος εβοήθει και οι άλλοι μέ-
χρι τριάκοντα ετων άπαντες. και αναλαβόντες τους λοι-
πους άνδρας εις το στρατόπεδον αφικνουνται. και ήδη

## Βιθυνοί Θράκες

Ξεν. Αν. ς' Δ 26

μεν άχρι της δύσεως ην, κ(αι) οι Έλληνες κακώς αθύμως έχοντες εστρατοπεδεύοντο, κ(αι) εξαπίνης δια των δασέων των Βιθυνών τινες επιγενόμενοι τοις προφύλαξι, τους μεν κατέκοψαν, τους δε εδίωξαν μέχρι εις το στρατόπεδον. κ(αι) κραυγής γενομένης, εις τα όπλα έδραμον πάντες οι Έλληνες· κ(αι) διώκειν μεν κ(αι) κινείν το στρατόπεδον νύκτωρ ουκ ασφαλές εδόκει είναι· δασέα γαρ ην τα χωρία· εν δε τοις όπλοις ενυκτέρευσαν φυλαττόμενοι ικανοίς φύλαξι.

### Κεφ. Ε'

Περίληψις. Την επιούσαν ημέραν ηναγκάσθησαν ν' αποχωρήσωσι μετά πάσης της αποσκευής και των όπλων εφ' ικανήν την οχυράν θέσιν, ην προηγουμένως απέρριψαν φοβούμενοι τον εποικισμόν (ς' 4. 21) κ(αι) εκεί οχυρώθησαν δια τάφρου κ(αι) χαρακώματος. Και προς το παρόν μεν ήλθον εξ Ηρακλείας πλοία φέροντα τροφάς· αλλ' ήτο ανάγκη να τιμωρήσωσι τους εχθρούς δια το πάθημα της προτεραίας, να θάψωσι τους νεκρούς κ(αι) να εξασφαλίσωσι την τε αυτών διατροφήν κ(αι) την περαιτέρω πορείαν. Όθεν καταλιπόντες εν τω οχυρωμένω στρατοπέδω τον Νέωνα μετά των πρεσβυτέρων, εξήλθον οι λοιποί υπό τον Ξενοφώντα κ(αι) διελθόντες

Βιθυνοὶ Θρᾷκες

ἐν τάξει τὰ ὅπλα τῶν συμμάχων ἔθαψαν τοὺς νε- Ξεν. Ἀν. ς.Ε.
κρούς. Ἰδόντες δὲ οἱ πολέμιοι ἐμφανισθέντας ἐπί τι-
νων λόφων δὲν ἐδέχθησαν τὴν ἔφοδον, ἀλλὰ ταχθέν-
τες εἰς μάχην οἱ μὲν ἄλλοι προέβαινον, ὁ δὲ Ξενο-
φῶν μείνας ὄπισθεν διέταξε τὰς ὀπισθοφύλακας τάξεις τῆς ἐ-
φεδρείας ἐκ 200 ἀνδρῶν ἑκάστην. Αἴφνης οἱ προη-
γούμενοι εὑρόντες νάπος τι ἐστάθησαν, μὴ θέλον-
τες νὰ διαβῶσιν· ἀλλ' ἐμψυχωθέντες ὑπὸ τοῦ προσ-
δραμόντος Ξενοφῶντος, διέβησαν αὐτὸ καὶ πάλιν
ἐνθαρρυνθέντες ὑπὸ τοῦ Ξενοφῶντος ὥρμησαν κα-
τὰ τῶν ἀντιταχθέντων πολεμίων καὶ συμπλοκῆς γε-
νικῆς, ἐτράπη τῶν πολεμίων πρῶτον μὲν τὸ
εὐώνυμον, εἶτα δὲ καὶ τὸ δεξιόν. Μετὰ δὲ ταῦτα τρέ-
ψαντες καὶ τὸ ἱππικὸν τοῦ Φαρναβάζου καὶ τῶν Βιθυ-
νῶν τὸ ἐπί τινος λόφου συναθροισθέν, ἐσταμάτησαν
οἱ Ἕλληνες περὶ δύσιν ἡλίου καὶ ἐστρατοπέδευσαν, στή-
σαντες πρότερον τρόπαιον ἐν τῷ τόπῳ τῆς συμ-
πλοκῆς.

- - - - - - - - - - - - - - - - - - -

22 Ἐντεῦθεν οἱ λοχαγοὶ ἠρώτησαν ἐκεῖνον, ὁ δὲ
ἀπήντησε. Ὁ δὲ ἠρώτα, παραγγείλας διαβαίνειν ἢ ἑ-
κάστοτε ἐδίδαξε τὸ νάπος κλπ. Ταῦτα γὰρ ἀθρόον
εὐθὺς ἂν ἔδει πέραν γενέσθαι τὸ στράτευμα. ἤ

190

# Βιθυνοὶ Θρᾷκες.

Ξεν. Ἀν. ς. ε. 22 ᾗ κατὰ τὴν γέφυραν, ἢ ἐπὶ τῷ νάπει πῃ, ἐξεκομί-
ζοντο. ἐπεὶ δὲ διέβησαν, παριὼν παρὰ τὴν φάλαγγα
ἔλεγεν· Ἄνδρες ἀναμνήσθητε ὅσας δὴ μάχας
σὺν θεοῖς ὁμόσε ἰόντες νενικήκατε καὶ οἷα πά-
σχουσιν οἱ πολεμίους φεύγοντες, καὶ τοῦτο ἐννοήσατε, ὅ-
τι ἐπὶ ταῖς θύραις τῆς Ἑλλάδος ἐσμέν. ἀλλ' ἕπεσθε
ἡγεμόνι τῷ Ἡρακλεῖ καὶ ἀλλήλους παρακαλεῖτε ὀνο-
μαστί. ἡδύ τοι ἀνδρεῖόν τι καὶ καλὸν νῦν εἰπόντα καὶ
ποιήσαντα μνήμην ἐν οἷς ἐθέλει παρέχειν ἑαυ-
τοῦ. ταῦτα παρελαύνων ἔλεγε, καὶ ἅμα ὑφηγεῖτο ἐπὶ
φάλαγγος, καὶ τοὺς πελταστὰς ἑκατέρωθεν ποιησάμενος,
ἐπορεύοντο ἐπὶ τοὺς πολεμίους. παρήγγελτο δὲ τὰ
μὲν δόρατα ἐπὶ τὸν δεξιὸν ὦμον ἔχειν, ἕως ση-
μαίνοι τῇ σάλπιγγι· ἔπειτα δὲ εἰς προσβολὴν καθέν-
τας, ἕπεσθαι βάδην καὶ μηδένα δρόμῳ διώκειν.
ἐκ τούτου σύνθημα παρῄει Ζεὺς σωτήρ, Ἡρακλῆς
ἡγεμών. οἱ δὲ πολέμιοι ὑπέμενον νομίζοντες κα-
λὸν ἔχειν τὸ χωρίον. ἐπεὶ δὲ ἐπλησίαζον, ἀλα-
λάξαντες οἱ Ἕλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμί-
ους, πρὶν τινα κελεύειν· οἱ δὲ πολέμιοι ἀντίοι ὥρ-
μησαν, οἵ θ' ἱππεῖς καὶ τὸ στῖφος τῶν Βιθυνῶν· καὶ
τρέπονται τοὺς πελταστάς. ἀλλ' ἐπεὶ ὑπηντίαζεν ἡ
φάλαγξ τῶν ὁπλιτῶν, ταχὺ πορευομένη, καὶ ἅμα ἡ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βιθυνοὶ Θρᾷκες

σάλπιγξ ἐφθέγξατο καὶ ἐπαιάνιζον καὶ μετὰ ταῦτα η- Ξεν. Αν. ς΄ Ε.
λάλαζον καὶ ἅμα τὰ δόρατα καθίεσαν. ἐνταῦθα 27
οὐκέτι ἐδέξαντο οἱ πολέμιοι, ἀλλὰ ἔφευγον. καὶ Τιμα-
σίων μὲν ἔχων τοὺς ἱππέας ἐφείπετο, καὶ ἀπεκτίννυ-
σαν ὅσουσπερ ἐδύναντο ὡς ὀλίγοι ὄντες. τῶν δὲ πο-
λεμίων τὸ εὐ-ώνυμον εὐθὺς διεσπάρη, καθ'
ὃ οἱ Ἕλληνες ἱππεῖς ἦσαν, τὸ δὲ δεξιόν, ἅτε οὐ σφό-
δρα διωκόμενον, ἐπὶ λόφου συνέστη. ἐπεὶ δὲ εἶδον
οἱ Ἕλληνες ὑπομένοντας αὐτούς, ἐδόκει ῥᾷστόν τε
καὶ ἀκινδυνότατον εἶναι ἰέναι ἤδη ἐπ' αὐτούς. παι-
ανίσαντες οὖν εὐθὺς ἐπέκειντο· οἱ δ' οὐχ ὑπέμειναν.
καὶ ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον, μέχρι τὸ δε-
ξιὸν αὖ διεσπάρη· ἀπέθανον δὲ ὀλίγοι· τὸ γὰρ
ἱππικὸν φόβον παρεῖχε τὸ τῶν πολεμίων πολύ
ὄν. ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες τό τε Φαρναβάζου ἱ-
ππικὸν ἔτι συνεστηκὸς καὶ τοὺς Βιθυνοὺς ἱππέας πρὸς
τοῦτο συναθροιζομένους καὶ ἀπὸ λόφου τινὸς κατα-
θεωμένους τὰ γιγνόμενα, ἀπειρήκεσαν μέν, ὅ-
μως δὲ ἐδόκει καὶ ἐπὶ τούτους ἰτέον εἶναι οὕτως, ὅπως
δύναιντο, ὡς μὴ τεθαρρηκότες ἀναπαύσαιντο.
31 συνταξάμενοι δὴ πορεύονται. ἐντεῦθεν οἱ πολέ- 31
μιοι ἱππεῖς φεύγουσι κατὰ τοῦ πρανοῦς ὁμοίως, ὡς-
περ ὑπὸ ἱππέων διωκόμενοι· νάπος γὰρ αὐτοὺς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

182

## Βιθυνοί Θρᾶκες

Ξεν. Αν. ζ. ε. 31 υπεδέχετο, ὅτι ἥσσαν οἱ Ἕλληνες, ἀλλὰ προσαπεσφάττοντο διώκοντες· οὐ γὰρ ἦν· ἐπανελθόντες δὲ ἔνθα ἡ πρώτη συμβολὴ ἐγένετο, στησάμενοι τρόπαιον ἀπῆσαν ἐπὶ θάλατταν περὶ ἡλίου δυσμάς· στάδιοι δ' ἦσαν ὡς ἑξήκοντα ἐπὶ τὸ στρατόπεδον.

### Κεφ. ζ. (Βιβ. ζ').

Περίληψις. Μετὰ τοῦτο ἀσφαλισθέντες οἱ Ἕλληνες ἀπὸ τῶν Βιθυνῶν διέμειναν ἐν Κάλπῃ, περιμένοντες τὰ ἐπιτήδεια τὸ μὲν ληιζόμενοι ἐκ τῶν περίξ, τὸ δὲ ἀγοράζοντες ἐκ τῶν διὰ θαλάσσης ἐρχομένων πλοίων. . . . . . . . .

. . . . . . . Οἱ δὲ Ἕλληνες, ὁπότε διὰ τῆς Βιθυνίας πορευόμενοι καὶ λαφυραγωγήσαντες ἀφθόνως τὴν χώραν κατὰ ἓξ ἡμέρας ἔφθασαν εἰς τὴν Χρυσόπολιν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βιθυνοὶ Θρᾶκες.

XXXVII... 6 Ἐν δὲ Βιθυνίᾳ πάλιν οὐκ ὀλίγα τῶν ἰδίων ἀπολέσας (ὁ Ἀλκιβιάδης) καὶ περικοπεὶς ὑπὸ τῶν ἐκεῖ Θρᾳκῶν ἔγνω μὲν ἀναβαίνειν πρὸς Ἀρταξέρξην . . . . . .

Πλουτ. Ἀλκιβιάδης σ. 416

C. 541. 2. Ἔτι δὴ τὸν Εὔξεινον πόντον πλέουσιν ἐκ τῆς Προποντίδος ἐν ἀριστερᾷ μὲν τὰ προσεχῆ τῷ Βυζαντίῳ κεῖται· Θρᾳκῶν δ' ἐστί, καλεῖται δὲ τὰ ἀριστερὰ τὸ Πόντου, ἐν δεξιᾷ δὲ τὰ προσεχῆ Χαλκηδόνι· Βιθυνῶν δ' ἐστὶ τὰ πρῶτα, εἶτα Μαριανδυνῶν...

Στράβων ΙΒ΄. σελ. 760.

3. οἱ μὲν οὖν Βιθυνοὶ πρότερον Μυσοὶ ὄντες μετωνομάσθησαν οὕτως ἀπὸ τῶν Θρᾳκῶν τῶν ἐποικησάντων, Βιθυνῶν τε καὶ Θυνῶν, ὁμολογεῖται παρὰ τῶν πλείστων, καὶ σημεῖα τίθενται τὸ μὲν τῶν Βιθυνῶν ἔθνος τὸ μέχρι νῦν ἐν Θρᾴκῃ λέγεσθαι τινὰς Βιθυνούς, τὸ δὲ τῶν Θυνῶν τὴν Θυνιάδα ἀκτὴν τὴν πρὸς Ἀπολλωνίᾳ καὶ Σαλμυδησσῷ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

184

Βιθυνοὶ Θρᾶκες

Ευς 764 ι.544. ... πρὸς ἕω μὲν τοίνυν ὁ Ἅλυς ὅριον τῶν Παφλαγόνων, πρὸς νότον δὲ Φρύγες καὶ οἱ ἐποικήσαντες Γαλάται, πρὸς <u>δύσιν</u> δὲ Βιθυνοὶ καὶ Μαριανδυνοί (τὸ γὰρ τῶν Καυκώνων γένος ἐξέφθαρται τελέως πάντοθεν), πρὸς ἄρκτον δὲ ὁ Εὔξεινος κτλ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βιθυνοί Θρᾷκες.

Τοῦ δὲ Σαγγαρίου αἱ μὲν πηγαὶ ἐν Φρυγίᾳ εἰσίν· αὐτοὶ δὲ διὰ τῆς Θρᾳκῶν τῶν Βιθυνῶν χώρας ἐξίασιν ἐς τὸν Εὔξεινον πόντον.

Ἀρριανὸς Ἀναβ. Ἀλεξ. Βιβλ. Α΄ Κεφ. ΚΘ΄

. . . οἱ δὲ (ἡγοῦνται) περάσαντας (Θρᾷκας δὴ ἐς Ἴλιον κατὰ Ῥήσου συμμαχήσοντας) ὑπὲρ τὸ Βυζάντιον ἐς τὴν Θρᾴκην τὴν Βιθυνῶν λεγομένην, παρὰ Βιθύαν ποταμὸν οἰκῆσαι· ἢ λιμῷ πιεσθέντας ἐς Βεβρυκίαν αὖθις ἐπανελθεῖν, ἢ Βιθυνίαν ἀντὶ Βεβρυκίας, ἀπὸ τοῦ ποταμοῦ παρ᾽ ὃν ᾤκουν, ὀνομάσαι . . . . . ἄρα ἡ Θρᾴκη ἐν Ἀσίᾳ ἐκλήθη.

Ἀππιανὸς Μιθριδάτειος Ι